Ακαδημία Αθηνών / Academy of Athens

**ἥρως.** Ἥρωας, hero, Ἡράκλειτος 5 *οὔ τι γινώσκων θεοὺς οὐδ' ἥ ρ ω α ς οἵτινές εἰσι.*

**ἡσσᾶσθαι.** Ἡττῶμαι/νικῶμαι, be defeated, Δημόκριτος 249 *στάσις ἐμφύλιος ἐς ἑκάτερα κακόν· καὶ γὰρ νικέουσι καὶ ἡ σ σ ω μ έ ν ο ι ς ὁμοίη φθορή.*

**ἥσσων** (ἀντίθ. *μείζων*) **1.** Μικρότερος, smaller, Δημόκριτος 176 *τύχη μεγαλόδωρος ἀλλ' ἀβέβαιος, φύσις δὲ αὐτάρκης· διόπερ νικᾷ τῷ ἥ σ σ ο ν ι καὶ βεβαίῳ τὸ μεῖζον τῆς ἐλπίδος* **2.** Κατώτερος, inferior, Δημόκριτος 50 *ὁ χρημάτων παντελῶς ἥ σ σ ω ν οὐκ ἄν ποτε εἴη δίκαιος.* ‖ **ἧσσον** (τύπ. *ἧττον*, ἀντίθ. *μᾶλλον*). Ὀλιγότερο, less, Παρμενίδης 8.48 *τῇ μᾶλλον τῇ δ' ἧ σ σ ο ν* Διογένης 6.20 *ἧ τ τ ο ν παχεῖα ἐκείνης* Δημόκριτος 279.7 *ἐν γὰρ τῷ ξυνῷ τὰ τελούμενα οὐκ ἀνιᾷ ὥσπερ ἰδίῃ οὐδ' εὐθυμεῖ τὰ ἐπικτώμενα, ἀλλὰ πολλῷ ἧ σ σ ο ν.*

**ἡσυχίη.** Ἡσυχία/κατάσταση ἀπραξίας, rest/state of inaction, Δημόκριτος 243 *τῆς ἡ σ υ χ ί η ς πάντες οἱ πόνοι ἡδίονες, ὅταν ὧν εἵνεκεν πονέουσι τυγχάνωσιν ἢ εἰδέωσι κύρσοντες.* ‖ **ἡσυχᾷ** (ἀντίθ. *ἰσχυρῶς*). Ἥσυχα/σιγὰ-σιγά, quietly/slowly, Ἀρχύτας 1.48 *ἡ σ υ χ ᾷ μὲν κινούμενοι βαρὺν ἀφιέντι ἆχον, ἰσχυρῶς δὲ ὀξύν.*

**ἦτορ.** Καρδιὰ/κέντρο, heart/center, Παρμενίδης 1.29 *ἀληθείης εὐκυκλέος ἀτρεμὲς ἦ τ ο ρ.*

**ἠύς.** Εὐγενής, noble, Ἐμπεδοκλῆς 128.10 *θυμὸν ἀπορραίσαντας ἐ<ν>έδμεναι ἠ έ α γυῖα.* Πρβλ. ἀγαθός.

**ἠχήεις.** Βουερός, clamorous, Παρμενίδης 7.4 *νωμᾶν ἄσκοπον ὄμμα καὶ ἠ χ ή ε σ σ α ν ἀκουὴν καὶ γλῶσσαν.*

**ἦχος.** Βλ. **ἆχος.**

**ἠώς** (ἀντίθ. *ἑσπέρα*). Αὐγή, dawn/morning, Ἡράκλειτος 120.1 *ἠ ο ῦ ς καὶ ἑσπέρας τέρματα.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ